D *κακῶν ἀνακάλυψις, ὥστε πολλοὺς ἀποθανεῖν πρότερον ἢ*
*δεῖξαί τι τῶν ἀπορρήτων νοσημάτων ἰατροῖς. φέρε γὰρ*
*Ἡρόφιλον ἢ Ἐρασίστρατον ἢ τὸν Ἀσκληπιὸν αὐτόν, ὅτ'*
*ἦν ἄνθρωπος, ἔχοντα τὰ φάρμακα καὶ τὰ ὄργανα κατ'*
*οἰκίαν προσιστάμενον ἀνακρίνειν, μή τις ἔχει σύριγγα*
*παρὰ δακτύλιον ἢ γυνὴ καρκίνον ἐν ὑστέρᾳ· καίτοι σωτή-*
*ριόν ἐστι τῆς τέχνης ταύτης τὸ πολύπραγμον· ἀλλὰ πᾶς*
*ἄν τις, οἶμαι, τὸν τοιοῦτον ἀπήλασεν, ὅτι τὴν χρείαν οὐ*
*περιμένων ἄκλητος ἐπ' ἀλλοτρίων κακῶν ἔρχεται κατα-*
*νόησιν. οἱ δὲ πολυπράγμονες αὐτὰ ταῦτα καὶ τὰ τούτων ἔτι*
E *χείρονα ζητοῦσιν, οὐ θεραπεύοντες ἀλλὰ μόνον ἀνακα-*
*λύπτοντες. ὅθεν μισοῦνται δικαίως. καὶ γὰρ τοὺς τελώνας*
*βαρυνόμεθα καὶ δυσχεραίνομεν, οὐχ ὅταν τὰ ἐμφανῆ τῶν*
*εἰσαγομένων ἐκλέγωσιν, ἀλλ' ὅταν τὰ κεκρυμμένα ζητοῦν-*
*τες ἐν ἀλλοτρίοις σκεύεσι καὶ φορτίοις ἀναστρέφωνται.*
*καίτοι τοῦτο ποιεῖν ὁ νόμος δίδωσιν αὐτοῖς, καὶ βλάπτον-*
*ται μὴ ποιοῦντες· οἱ δὲ πολυπράγμονες ἀπολλύουσι καὶ*
*προΐενται τὰ αὑτῶν ἀσχολούμενοι περὶ τὰ ἀλλότρια, καὶ*
*σπανίως μὲν εἰς ἀγρὸν βαδίζουσι τὸ ἥσυχον καὶ σιωπηρὸν*
*τῆς ἐρημίας οὐ φέροντες, ἐὰν δὲ καὶ παραβάλωσι διὰ*
F *χρόνου, ταῖς τῶν γειτόνων ἀμπέλοις μᾶλλον ἐμβλέπουσιν*
*ἢ ταῖς ἰδίαις καὶ πυνθάνονται πόσοι βόες τοῦ γείτονος*
*ἀποτεθνήκασιν ἢ πόσος οἶνος ὀξίνης γέγονε· ταχὺ δὲ*
*τούτων ἐμπλησθέντες ἀποτρέχουσιν. ὁ μὲν γὰρ ἀληθινὸς*
*ἐκεῖνος γεωργὸς οὐδὲ τὸν αὐτομάτως ἐρχόμενον ἐκ πόλεως*
*λόγον ἡδέως προσδέχεται, λέγων* (Com. adesp. 347) |